Ακαδημία Αθηνών / Academy of Athens

**μυεῖσθαι.** Τελεσιουργοῦμαι, be ritually performed, Ἡράκλειτος 14 *τὰ γὰρ νομιζόμενα κατ' ἀνθρώπους μυστήρια ἀνιερωστὶ μ υ ε ῦ ν τ α ι.*

**μυελός.** Μυελός, marrow, Διογένης 6.41 *ἕτεραι δ' εἰσὶν αἱ ἀπὸ ἑκατέρας τείνουσαι διὰ τοῦ νωτιαίου μ υ ε λ ο ῦ.*

**μυθοπλαστεῖν.** Πλάθω μύθους, make up falsities, Δημόκριτος 297.5 *ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μ υ θ ο π λ α σ τ έ ο ν τ ε ς χρόνου.*

**μῦθος.** Λόγος/διήγηση, narrative, Παρμενίδης 2.1 *εἰ δ' ἄγ' ἐγὼν ἐρέω, κόμισαι δὲ σὺ μ ῦ θ ο ν ἀκούσας* 8.1 *μόνος δ' ἔτι μ ῦ θ ο ς ὁδοῖο λείπεται ὡς ἔστιν* Ἐμπεδοκλῆς 17.14-15 *ἀλλ' ἄγε μ ύ θ ω ν κλῦθι· μάθη γάρ τοι φρένας αὔξει· ὡς γὰρ καὶ πρὶν ἔειπα πιφαύσκων πείρατα μ ύ θ ω ν* 23.11 *θεοῦ πάρα μ ῦ θ ο ν ἀκούσας* 24 *κορυφὰς ἑτέρας ἑτέρῃσι προσάπτων μ ύ θ ω ν μὴ τελέειν ἀτραπὸν μίαν* 62.3 *οὐ γὰρ μ ῦ θ ο ς ἀπόσκοπος οὐδ' ἀδαήμων* 114.1 *ὦ φίλοι, οἶδα μὲν οὕνεκ' ἀληθείη παρὰ μ ύ θ ο ι ς* Δημόκριτος Α 126a (DK II 113,2) *ἐκδοχεῖον μ ύ θ ω ν.*

**μυκτήρ.** Μυκτῆρες/ρουθούνια, nostrils, Ἐμπεδοκλῆς 101.1 *κέρματα θηρείων μελέων μ υ κ τ ῆ ρ σ ι ν ἐρευνῶν.*

**μύριοι 1.** Μύριοι/ἀναρίθμητοι, countless/innumerable, Ἡράκλειτος 49 *εἷς ἐμοὶ μ ύ ρ ι ο ι, ἐὰν ἄριστος ᾖ* Ἐμπεδοκλῆς 35.16 *τῶν δέ τε μισγομένων χεῖτ' ἔθνεα μ υ ρ ί α θνητῶν* 110.7 *οἷα κατ' ἄνδρας μ υ ρ ί α δειλὰ πέλονται* 112.9 *οἱ δ' ἅμ' ἕπονται μ υ ρ ί ο ι ἐξερέοντες, ὅπῃ πρὸς κέρδος ἀταρπός* **2.** Μύριοι/δέκα χιλιάδες, ten thousand, Μέλισσος 7(2) *εἰ τοίνυν τριχὶ μιῇ μ υ ρ ί ο ι ς ἔτεσιν ἑτεροῖον γίνοιτο* Ἐμπεδοκλῆς 115.6 *τρίς μιν μ υ ρ ί α ς ὥρας ἀπὸ μακάρων ἀλάλησθαι.*

**μύσος.** Μίασμα/βδέλυγμα, miasma/defilement, Ἐμπεδοκλῆς 128.9 *ταύρων δ' ἀκρήτοισι φόνοις οὐ δεύετο βωμός, ἀλλὰ μ ύ σ ο ς τοῦτ' ἔσκεν ἐν ἀνθρώποισι μέγιστον.*

**μυστήριον.** Μυστήριο/μυστηριακὴ τελετή, mysteries, Ἡράκλειτος 14 *τὰ γὰρ νομιζόμενα κατ' ἀνθρώπους μ υ σ τ ή ρ ι α ἀνιερωστὶ μυεῦνται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ